διαβολάς, κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ τὴν μὲν
ἀλήθειαν ἀγνοοῦσι· πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν·
ἅπαντα δόκει ποιεῖν, ὡς μηδένα λήσων· καὶ γὰρ
παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ· μάλιστα δ' ἂν εὐ
δοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλ
λοις ἂν πράττουσιν ἐπιτιμῴης· ἐὰν ᾖς φιλομαθής,
ἔσει πολυμαθής· ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς με
λέταις· ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπι
στήμαις· ὁμοίως γὰρ αἰσχρὸν, ἀκούσαντα χρήσιμον λόγον
μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν
φίλων μὴ λαβεῖν· κατανάλισκε τὴν ἐν τῷ βίῳ σχολὴν
εἰς τὴν τῶν λόγων φιληκοΐαν· οὕτω γὰρ τὰ τοῖς ἄλ
λοις χαλεπῶς εὑρημένα, συμβήσεταί σοι ῥᾳδίως
μανθάνειν· ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι
χρημάτων κρείττω· τὰ μὲν γὰρ ταχέως ἀπολείπει,
τὰ δὲ πάντα τὸν χρόνον παραμένει· σοφία γὰρ
μόνη τῶν κτημάτων ἀθάνατον· μὴ κατόκνει μακρὰν
ὁδὸν πορεύεσθαι, πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγ
γελλομένους· αἰσχρὸν γὰρ, τοὺς μὲν ἐμπόρους τηλικαῦ
τα πελάγη διαπεραίνειν, ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν οὐσίαν,
τοὺς δὲ νεωτέρους, μηδὲ τὰς κατὰ γῆν πορείας ὑπο
μένειν, ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν ἑαυτῶν διάνοιαν·
τῷ μὲν τρόπῳ γίνου φιλοπροσήγορος· τῷ δὲ λόγῳ εὐ
προσήγορος· ἔστι δὲ φιλοπροσηγορίας μὲν, τὸ προσ
φωνεῖν τοὺς ἀπαντῶντας· εὐπροσηγορίας δὲ, τὸ τοῖς
λόγοις αὐτοῖς, οἰκείως ἐντυγχάνειν· ἡδέως μὲν ἔχε